p. 485 d. ἀριπρεπεῖς γίνεσθαι.

ἰστέον, ὅτι καὶ ὁ ποιητὴς οἶδεν ῥήτορα καλόν· ἐπήγαγεν γὰρ 19 αἰδοῖ μειλιχίῃ, ὥστε δεῖ ἀναστρέφεσθαι μετὰ τῶν ἀγαθῶν τε καὶ καλῶν. ἰστέον γὰρ ὅτι τὸ μὲν δικάσαι ὑπὲρ καλοῦ τὸ συμφέρον οὐδὲν μέγα· τὸ δὲ ποιῆσαι τινὰ ἀγαθόν τε καὶ καλὸν μέγιστον.

p. 485 e. πρὸς τὸν Ἀμφίωνα.

ὁ Ἀμφίων οὗτος μουσικὸς ἦν, ὁ οὖν Ζῆθος ὁ ἀδελφὸς 20 αὐτοῦ ἔλεγεν αὐτῷ, ὅτι ῥίψον τὴν λύραν καὶ κέχρησο ὅπλοις· κἀγὼ οὖν λέγω σοι· ὅτι ῥίψον τὴν φιλοσοφίαν καὶ ἐπὶ τὴν πόλιν δεῦρο καὶ δίκαζε.

p. 485 e. μειρακιώδει τινὶ διαπρέπεις.

ὁρᾷς πῶς τοῦ Εὐριπίδου γυναικώδει εἰρηκότος αὐτὸς μει- 21 ρακιώδει εἶπεν.

p. 486 a. καὶ οὔτ' ἂν δικαῖς βουλαῖσιν.

ὁ Εὐριπίδης εἶπεν· καὶ οὐκ ἂν ἀσπίδος κύτει προσομιλή- 22 σεις· οὗτος δέ φησιν· δίκαις σχόλαζε, ὦ Σώκρατες.

p. 486 a. εὐνοίᾳ γὰρ ἐρῶ τῇ σῇ.

κατὰ ἀλήθειαν ὁ Καλλικλῆς ὡς εὐνοῶν ἔλεγεν, ἀλλ' ὁ Σω- 23 κράτης κελεύει αὐτὸν σκοπῆσαι, εἰ τῷ ὄντι ἡ εὔνοια αὕτη ἐπωφελής ἐστιν· οὕτω γ' οὖν καὶ ἐν τῷ Κρίτωνι πρὸς τὸν Κρίτωνά φησιν.

p. 486 c. πραγμάτων δὲ εὐμουσίαν.

ἐκεῖνος εἶπεν τῷ Ἀμφίωνι, ὅτι πολέμων δὲ εὐμουσίαν ἄσκει· 24 οὗτος δέ φησι πραγμάτων.

---

**3** *I* 441  **4** ϑ 172  **16** Eurip. fr. 185  **21** Plat. Criton. 46 b

---

**4** mg. ση.  **8** mg. περὶ Ζήθου καὶ Ἀμφίωνος

---

**7** Ἀμφίωνα **M** Ἀμφίονα codd. Plat.  **15** δικαῖς **M** δίκης codd. Plat.  **17** δίκαις] -ς supr. add. **M**  σχολάζε Jahn σχολάζει **M**  **21** Κρίτωνι Jahn Κριτίᾳ **M**  **24** Ἀμφίωνι correxi Ἀμφίῳ **M**